Ἀναλυθήσεται γοῦν εἰς συλλογισμοὺς δύω, ὧν τῷ μὲν ἡ μείζων, τὸ Σωκράτην καθηγήσασθαι τῆς παιδείας Ἀριστοτέλει, τῷ δὲ, τὸ Πλάτωνα. Συναγόμενον δὲ ἑκατέρῳ, ὅτι τὶς Ἀθηναῖος, κλ.

Ὡσαύτως δὲ καὶ τοῦ συμπλεκτικοῦ κατηγορουμένου.

Ἀριστοτέλης φιλοσοφεῖ, καὶ περιπατεῖ.
Ἀριστοτέλης ἐστὶν ἐκ Σταγείρων.
Τῶν ἐκ Σταγείρων ἄρα τις φιλοσοφεῖ, καὶ περιπατεῖ.

§. ψνϛʹ. Οἱ δὲ τὸν ἐξ ἀποφατικῆς συμπλεκτικῆς μόνον ὡς ἐκ τοῦ κατηγορουμένου, χρήσεως εἶναι τινὸς ἀξιοῦσιν (1), οἷον,

Οὐδεὶς δύναται ΘΕΩ δουλεύειν καὶ Μαμμωνᾷ.
Οἱ φιλοκτήμονες δουλεύειν προῄρηνται τῷ Μαμμωνᾷ.
Οὐκ ἄρα δύνανται δουλεύειν τῷ Θεῷ.

Εὔοδος δὲ ὁ οὕτως ἔχων ὅταν τῇ θατέρου τῶν κατὰ τὴν συμπλοκὴν μερῶν θέσει, τὴν ἄρσιν τοῦ ἑτέρου συνάγῃ, ὡς ὁ ἀνωτέρω. Οὐκ ἀνάπαλιν δὲ, ἐπειδὰν τῇ ἄρσει τὴν θέσιν. Οὐ γὰρ εἴτις οὐχὶ τῷ Θεῷ δουλεύοι, τῷ Μαμμωνᾷ παραυτίκα δουλογραφήσεται ὁ τοιοῦτος. Οὐδ᾽ εἰ μὴ τῷ Μαμμωνᾷ δουλεύοι, τῷ Θεῷ δουλεύσει. Ὁ γὰρ τῶν ἀσώτων βίος ἐλέγχει τὸ συναγόμενον.

§. ψνζʹ. Ἐφ᾽ ὧν δὲ τρίτον οὐδὲν μεταξὺ φέρεται, ἀμέσως ἀντιφερομένων, καὶ τοῦ ἑτέρου ἀναιρεθέντος, θάτερον ἂν καταφατικῶς συναχθείη. Οἷον,

Οὐδεὶς ἀριθμὸς, ἄρτιος ὁ αὐτὸς καὶ περιττὸς ἅμα.
Ὁ δὲ τριαδικὸς οὐκ ἔστιν ἄρτιος. Περιττὸς ἄρα· καὶ ἀνάπαλιν. Ἀλλὰ γὰρ τοὺς τοιούτους ἐπὶ τοὺς Διαζευκτικοὺς ὀρθῶς ἄντις ἀνακαλέσαι. Περὶ ὧν κατωτέρω.

## Περὶ Συλλογισμοῦ Αἰτιολογικοῦ.

### §. ψνηʹ.

Τούτου ἀμφοῖν, ἢ τῇ ἑτέρᾳ μόνον τῶν προκειμένων, πρότασις ἑτέρα εἰς κατασκευὴν τοῦ λεγομένου παρασυνάπτεται. Καθ᾽ ὃ καὶ Αἰτιολογικὸς εἴρηται, ὡς ἐξ ἀμφοῖν, ἢ τῆς ἑτέρας Αἰτιολογικῆς (§. υιθʹ.)· λέγεται δὲ καὶ Ἐπιχείρημα. Οἷον,

Πᾶν

(1) Περὶ Τέχν. τοῦ Νοεῖν. Μέρ. Γʹ. Κεφ. κβʹ.



Πᾶν ἄϋλον ἀθάνατον. Ἁπλοῦν γὰρ ὄν, καὶ κρεῖττον ἔσται συνθέσεως· καὶ οὐδὲ τῇ μάχῃ ὑποκείσεται τῶν ἐναντίων, ἐξ ἧς ἡ λύσις, ἐν ᾗ ὁ θάνατος.

Ἀλλ. ἡ ψυχὴ ἄϋλος ἐστὶν, ἅτε δὴ ταῖς τῶν νοητῶν ἀντιλήψεσιν ἑαυτὴν μεταβάλλουσα, ὃ πάντῃ τῆς ὕλης ἐστὶν ἀλλότριον.

Ἄρα ἡ ψυχὴ ἀθάνατός ἐστιν.

§. ψνθʹ. Διὰ τοῦ ἐν τῇ Αἰτιολογούσῃ καινοῦ ὅρου, ὡς διὰ μέσου, τὴν αἰτιολογουμένην πρότασιν κατασκευάζοντες εἰς τοσούτους ἀναλύομεν τὸ Ἐπιχείρημα συλλογισμοὺς, ὅσα τῶν αἰτίων ἐστὶ τὰ παρεισαγόμενα· Οἷον ἐπὶ τοῦ τεθέντος (§. ἀνωτ.) κατασκευάσειεν τις τὸ ἄϋλον εἶναι ἀθάνατον, ὡς διὰ μέσου τοῦ μὴ λύσιν ἐπιδέχεσθαι. Εἶτα καὶ τὸ ἄϋλον μὴ εἶναι λύσιν ἐπιδεχόμενον, διὰ τοῦ κρεῖττον εἶναι συνθέσεως καὶ ἁπλοῦν. Ὡσαύτως δὲ καὶ τὴν ψυχὴν ἄϋλον οὖσαν δείκνυμεν ἐπὶ τῆς ἐλάσσονος, διὰ τοῦ ἑαυτὴν μεταβάλλειν. Τοῦτο δὲ διὰ τοῦ νοεῖν ἄλλοτε ἄλλως καὶ ἄλλα, ἥπερ ἂν ἐθέλοι. Ὥστε ἐν συλλήψει Διανοιῶν πλειόνων κείσεται τοὐπιχείρημα; καὶ συλλογὴν ἄντις συλλογισμῶν αὐτὸ ὀνομάσειεν, ὥσπερ συλλογὴν λόγων πλειόνων τὸν συλλογισμὸν ἐτυμολογοῦντες ἀπέδωκαν (1).

§. ψξʹ. Τοῖς Αἰτιολογικοῖς συλλογισμοῖς πολὺ καίτοι τὸ χρειῶδες ἐν ταῖς συγγραφαῖς ἔχουσιν, οὐ πάνυτι χρῆσθαι ἐπιτρέπουσι, κατὰ τὰς διαλεκτικὰς συνουσίας. Ἐν ταύταις γὰρ πρὸς τὸ ἀκριβὲς τοῦ σχήματος τὰς συλλογιστικὰς ἐφόδους ἐπιτηδεύοντας, τῆς ἣν ὁ προσδιαλεγόμενος ἀπέφη προτάσεως τὴν δεῖξιν ὡς ἤδη νέου προβλήματος, δι᾽ ἄλλου συλλογισμοῦ κατασκευάζειν εἰώθασι, καὶ οὕτως ἐφεξῆς, ἄχρι τῶν ἀναποδείκτων. Βίβλον δὲ συγγράφοντι ἀποδεικτικῶς, τὸ σειρὰς ἐπιπλέκειν συλλογισμῶν ἐκτενεστέρας ἐπιτηδεύεσθαι, ἐξὸν συντόμως τε καὶ ἀπερίττως τὴν κατασκευὴν παραθέσθαι, ψυχρόν τε λίαν καὶ ἀπειρόκαλον.

## Περὶ Συλλογισμοῦ Διαζευκτικοῦ.

### §. ψξαʹ.

Τοιοῦτος ὁ ἀπὸ Διαζευκτικῆς (§. υκδʹ.) τῆς μείζονος (2). οἷον, ἤτοι Γῆ κινεῖται, ἢ Ἥλιος· Γῆ δ᾽ οὐκινεῖται. Ὁ ἄρα Ἥλιος.

(1) Ὅρα §. φνθʹ. Σημεί.

(2) Τοῦτον κατὰ διάζευξιν Ὑποθετικὸν ἀποκαλεῖν ἀξιοῦσι, τοῦ κατὰ συνέχειαν, ἢ ἀκολουθίαν, (περὶ οὗ ἡμῖν ἑξῆς)